*τοῦ ψευδόρκου καὶ ξειναπάτου;*
*ΙΑ.* *φεῦ φεῦ, μυσαρὰ καὶ παιδολέτορ.*
*ΜΗ.* *στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.*
*ΙΑ.* *στείχω, δισσῶν γ' ἄμορος τέκνων.*
*ΜΗ.* *οὔπω θρηνεῖς· μένε καὶ γῆρας.*
*ΙΑ.* *ὦ τέκνα φίλτατα.* *ΜΗ.* *μητρί γε, σοὶ δ' οὔ.*
*ΙΑ.* *κἄπειτ' ἔκανες;* *ΜΗ.* *σέ γε πημαίνουσ'.*
*ΙΑ.* *ὤμοι, φιλίου χρῄζω στόματος*
*παίδων ὁ τάλας προσπτύξασθαι.*
*ΜΗ.* *νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζει,*
*τότ' ἀπωσάμενος.* *ΙΑ.* *δός μοι πρὸς θεῶν*
*μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.*
*ΜΗ.* *οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.*
*ΙΑ.* *Ζεῦ, τάδ' ἀκούεις ὡς ἀπελαυνόμεθ',*
*οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς*
*καὶ παιδοφόνου τῆσδε λεαίνης;*
*ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι*
*τάδε καὶ θρηνῶ κἀπιθεάζω,*
*μαρτυρόμενος δαίμονας ὥς μοι*
*τέκν' ἀποκτείνασ' ἀποκωλύεις*
*ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,*
*οὓς μήποτ' ἐγὼ φύσας ὄφελον*
*πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.*
*ΧΟ.* *πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,*
*πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·*
*καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,*
*τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.*
*τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.*

---

1398. *ἔκανες*] Elmsleyus, *ἔκτανες* libri. 1399. *αἶ αἶ B (C?)* 1404. *μάτην δ'* BE *λόγος BC* 1405. *Ζεῦ, τάδ' ἀκούεις*] v. l. *ὦ Ζεῦ, τάδ' ὁρᾷς.* 1409. *κἀπιθεάζω*] Blomfieldius, *κἀπιθοάζω* libri. 1411. *τέκνα κτείνασ' BC* 1413. *ὄφελον*] Bentleyus, *ὤφελον* libri.